31. PLUCKING GRAIN ON A SABBATH (Matt-Mark Identical)

| Matt 12:1-8 | Mark 2:23-28 |
|---|---|
| *Ἐν ἐκείνῳ τῷ καιρῷ* | *Καὶ ἐγένετο* |
| *ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασιν* | *αὐτὸν ἐν τοῖς σάββασιν παραπορεύεσθαι* |
| *διὰ τῶν σπορίμων·* | *διὰ τῶν σπορίμων,* |
| *οἱ δὲ μαθηταὶ αὐτοῦ* | *καὶ οἱ μαθηταὶ αὐτοῦ* |
| *ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν* | *ἤρξαντο ὁδὸν ποιεῖν τίλλοντες* |
| *στάχυας καὶ ἐσθίειν.* | *τοὺς στάχυας.* |
| *2 οἱ δὲ Φαρισαῖοι ἰδόντες* | *24 καὶ οἱ Φαρισαῖοι* |
| *εἶπαν αὐτῷ,* | *ἔλεγον αὐτῷ,* |
| *Ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν* | *Ἴδε τί ποιοῦσιν* |
| *ὃ οὐκ ἔξεστιν ποιεῖν ἐν σαββάτῳ.* | *τοῖς σάββασιν ὃ οὐκ ἔξεστιν* |
| *3 ὁ δὲ εἶπεν αὐτοῖς,* | *25 καὶ λέγει αὐτοῖς,* |
| *Οὐκ ἀνέγνωτε* | *Οὐδέποτε ἀνέγνωτε* |
| *τί ἐποίησεν Δαυὶδ* | *τί ἐποίησεν Δαυίδ,* |
| | *ὅτε χρείαν ἔσχεν* |
| *ὅτε ἐπείνασεν* | *καὶ ἐπείνασεν αὐτὸς* |
| *καὶ οἱ μετ αὐτοῦ* | *καὶ οἱ μετ αὐτοῦ* |
| *4 πῶς εἰσῆλθεν* | *26 πῶς εἰσῆλθεν* |
| *εἰς τὸν οἶκον τοῦ θεοῦ* | *εἰς τὸν οἶκον τοῦ θεοῦ* |
| | *ἐπὶ Ἀβιαθὰρ ἀρχιερέως* |
| *καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγον,* | *καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν,* |
| *ὃ οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν* | *οὓς οὐκ ἔξεστιν φαγεῖν* |
| *οὐδὲ τοῖς μετ αὐτοῦ,* | |
| *εἰ μὴ τοῖς ἱερεῦσιν μόνοις* | *εἰ μὴ τοὺς ἱερεῖς,* |
| | *καὶ ἔδωκεν καὶ τοῖς σὺν αὐτῷ οὖσιν* |
| *5 ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσιν καὶ ἀναίτιοί εἰσιν* | |
| *6 λέγω δὲ ὑμῖν* | *27 καὶ ἔλεγεν αὐτοῖς,* |
| *ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε. 7 εἰ δὲ ἐγνώκειτε τί ἐστιν, Ἔλεος θέλω καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους.* | |
| | *Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο καὶ οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον·* |

| Matt 12:1-8 | Mark 2:23-28 |
| --- | --- |
| *8 <u>κύριος</u> γάρ <u>ἐστιν</u>* | *28 ὥστε <u>κύριός ἐστιν</u>* |
| *τοῦ σαββάτου* | |
| *<u>ὁ υἱὸς τοῦ ἀνθρώπου</u>.* | *<u>ὁ υἱὸς τοῦ ἀνθρώπου</u>* |
| | *καὶ τοῦ σαββάτου* |

110 words out of 242 words = 45%.